A Ἄλφιτον. ἔλαιον. οἶνον. οὐδὲ ταῦτ' ἔτι
Ἔξεστιν. οἱ γὰρ ἄνδρες ἤδη κλειδία
Αὐτοὶ φοροῦσι κρυπτὰ κακοηθέστατα,
Λακωνίκ' ἄττα τρεῖς ἔχοντα γομφίους.
Πρὸ τοῦ μὲν οὖν ἦν ἀλλ' ὑποῖξαι τὴν θύραν
Ποιησαμέναισι δακτύλιον τριωβόλου.
B Νῦν δ' αὐτοὺς ὠκότριψ' Εὐριπίδης
Ἐδίδαξε θριπήδεστ' ἔχειν σφραγίδια
Ἐξαψαμένους. νῦν οὖν ἐμοὶ τοῦτο δοκεῖ
Ὄλεθρόν τιν' ἡμᾶς κυκανᾶν ἁμῶς γέ πως
Ἢ φαρμάκοισιν, ἢ μιᾷ γέ τῃ τέχνῃ,
Ὅπως ἀπολεῖται, ταῦτ' ἐγὼ φανερῶς λέγω.
C Τὰ δ' ἄλλα μετὰ τοῦ γραμματέως συγγράψομαι.
Χο. Οὔπω ποτὲ ταύτης
Ἤκουσα πολυπλοκωτέρας
Γυναικὸς οὐδὲ δεινότερον λεγούσης.
Πάντα γὰρ λέγει δίκαια. πάσας δ' ἰδέας
Ἐξήτασεν. πάντα δ' ἐβάστασεν φρενί
Πυκνῶς τε ποικίλους λόγους
Ἀνεῦρεν εὖ διεζητημένους.
D Ὥστ' ἂν εἰ λέγοι παρ' αὐτὴν Ξενοκλῆς ὁ Καρκίνου
Δοκεῖν ἂν αὐτὸν
Ὡς ἐγῷμαι πᾶσιν ὑμῖν ἄντικρυς μηδὲν λέγειν.

A *Farinam, oleum, vinum, ne hæc quidem amplius*
*Licet. viri enim iam clauiculas*
*Ipsi gestant occultas, callidißimas, ac maximè malignas,*
*Laconicas quasdam treis habentes clauiculos.*
*Sed prius quidem certè licebat aperire fores,*
*Facientibus annulum triobolo & vili precio.*
B *Nunc verò iste ipsos verna Euripides*
*Docuit minuta, & quasi à tineis corrosa habere sigilla*
*Appensa habentes. Nunc igitur mihi hoc videtur*
*Perniciem aliquam nos miscere ac moliri quomodocunque*
*Vel venenis, vel vna quidem arte,*
*Vt pereat. hæc ego apertè dico,*
C *Reliqua verò cum scriba simul scribam.*
*CH. Nunquam hac*
*Audiui callidiorem*
*Muliere, neque facundius dicentem.*
*Omnia enim dicit iusta, omnesq́ species eloquentiæ*
*Examinauit, omniaq́ gestauit mente,*
*Denseq́ & prudenter varias orationes*
*Inuenit bene exquisitas:*
D *Vt si diceret ad comparationem ipsius Xenocles, filius Carcini,*
*Videretur ipse,*
*Vt ego puto, omnibus vobis planè nihil dicere.*

BOVRDINVS. Μορμολύκεια.] τὰ τῶν τραγῳδῶν προσωπεῖα καὶ τῶν ὑποκριτῶν, ὅθεν καὶ τὸ μορμολύττεσθαι, ἐκφοβεῖσθαι, ἐκπλήττειν, τῇ αἰτιατικῇ. Ταμιεύεσθαι.] διανέμειν, διοικεῖν κατὰ τὴν γνώμην, ὅθεν καὶ ταμίευται καὶ ταμιευτήρια. Προαιρούσαις.] βουλομέναις. E Ἔξεστι.] ἀφῄρηται ἡμῶν αὐτὴ ἡ περιουσία τῆς τοῦ δύνασθαι διοικεῖν καὶ διανέμειν ταῦτα, ἄλφιτον, ἔλαιον, οἶνον. Κακοηθέστατα.] δυσχερέστατα πρὸς τὸ μιμηθῆναι, ὥστε δύνασθαι ἀνοίγειν τὰς ἐλαιοθήκας καὶ ἀλφιτοθήκας σὺν τοῖς ψευδοκλειδίοις. Οἰκότριψ.] τουτέστιν ὁ οἰκογενὴς δοῦλος κατὰ διαφορὰν τῶν οἰκετῶν αἰχμαλώτων, ἢ λέγεται ὁ δοῦλος ἀπὸ γονέων. σύντετακται δὲ τὸ ὄνομα ἐκ τοῦ οἴκου καὶ τρίβειν. σημαίνει δὴ συνεχῆ τινὰ περικύλισιν καὶ πλάνησιν διατριβήν τε ἐν τῇ F οἰκίᾳ δεσπότου. ἄλλοι δὲ ἀναγιγνώσκουσι ὠκότριψε, τουτέστιν, οὕτως ὁ Εὐριπίδης κατεδούλευσε αὐτούς, καὶ τῇ οἰκοτριβίᾳ τινὶ καὶ σμικρολογίᾳ περιέπλεξεν. ἐγὼ δὲ ταύτην ἀνάγνωσιν ἀληθεστέραν εἶναι νομίζω. Θριπήδεστα.] λέγεται κυρίως τὰ ξύλα βεβρωμένα καὶ διεφθαρμένα ἀπὸ τῶν θριπῶν. θρὶψ δέ ἐστι ζῶον κατέσθιον ξύλα καὶ κατεδηδεσμένον κέρατα ξύλων, ἐντεῦθεν δὲ καλεῖ σφραγίδια θριπήδεστα, πολλοῖς καὶ μικροῖς τρυπήμασι τρυπηθέντα, ὡς δὴ καταβρωθέντα ὑπὸ τῶν θριπῶν καὶ G σκωληκῶν βουλόμενος τὴν λεπτότητα τούτων, καὶ ἰσχνότητα καὶ ἔτι διατρύπησιν δεικνύναι, καὶ διὰ τοῦτο τὴν δυσχερῆ μίμησιν ἐκείνων καὶ παρασφράγισιν. καὶ γὰρ χαλεπόν ἐστι τὰ σφραγίδια διατρυπητὰ παρασφραγίζειν μάλιστα πολλοῖς καὶ μικροῖς διατρυπήμασιν τρυπηθέντα. Κυρκανᾶν.] τουτέστι, δυσκυκᾶν κατασκευάζειν καὶ ἐπάγειν. κυρίως δὲ λέγεται τοῦτο τὸ ῥῆμα ἐπὶ τῶν φαρμάκων λυγρῶν καὶ θανατοφόρων, ἅπερ μίγνυται δηλωθησόμενά τινι ἐπὶ θανάτῳ, ὥστε μᾶλλον βλαβερὰ καὶ ὀλέθρια γίγνεσθαι. E Ἁμῶς γέ πως.] ὅπως δήποτε καὶ ἐκ παντὸς τρόπου. ὁ ποιητὴς ἐνταῦθα ἐλέγχει τὴν κακοτροπίαν τῶν δὲ γυναικῶν, αἵπερ λάθρα διαμηχανῶνται τὰ βία καὶ φανερῶς ὑπ' αὐτῶν διαπράττεσθαι οὐ δυνάμενα. Πολυπλοκωτέρας.] πολυτροπωτέρας καὶ παλιμβολωτέρας. πολύπλοκος γὰρ σημαίνει τὸ πολύτροπον, καὶ ἐπὶ πολλὰ τρεπόμενον, ἢ τὴν ἑαυτοῦ διάνοιαν τρέποντα ἐφ' ἕνα καιρόν, καὶ τὸ ποικιλοφρονοῦντα. Δεινότερον.] μετὰ μείζονος τέχνης. Ἐξήτασε.] ἐβασάνισε, ἐξεδοκίμασε, διερεύνησε. F Διεζητημένους.] ἐξευρημένους, καὶ σοφῶς καλῶς τε βασανισθέντας. Πυκνῶς.] σωφρόνως, νουνεχῶς, καὶ σοφῶς. Παρ' αὐτὴν Ξενοκλῆς ὁ Καρκίνου.] ὥστε φησὶν ὁ Ἀριστοφάνης, ἐὰν λέγῃ ὁ Ξενοκλῆς παραβληθεὶς καὶ συγκριθεὶς ταύτῃ τῇ γυναικὶ οὕτως ἐρούσῃ δεινῶς καὶ σοφῶς οὐδὲν δοκῇ ἂν λέγειν καὶ οὐδενὸς ἄξιος ῥήτωρ εἶναι κατ' ἀντεξέτασιν ταύτης τῆς γυναικός. ἐστὶ δὲ Ξενοκλῆς υἱὸς τοῦ Καρκίνου ποιητοῦ Ἀττικοῦ. ὅστις ἐσκώπτετο ὁμοίως καὶ ἐκείνου παῖδες. ἐνομίζετο γὰρ ἐπί τινι βωμολοχίᾳ καὶ ἐλαφρότητι τῆς φύσεως περὶ τὰ τερατικὰ καὶ νευ- G ροπαστικὰ διατελεσούσης, πρῶτος μηχανὰς καὶ τερατείας εἰσαγαγεῖν ἐν τοῖς δράμασιν, καὶ διὰ τοῦτο ὁ Πλάτων ἐκάλει ἐκεῖνον δωδεκαμήχανον, ἐπεὶ καὶ πολλάκις ὡς μηχανικὸς εἰς θέατρον εἰσέφερεν μηχανήματά τινα, ἡνίκα θεοὺς ἐμιμεῖτο ἀνερχομένους ἢ κατερχομένους ἐκ τοῦ